καὶ ὡς θώρακα ἐνδύσεται τὸ ὕδωρ.
21 καταφάγεται ὄρη καὶ ἔρημον ἐκκαύσει
καὶ ἀποσβέσει χλόην ὡς πῦρ.
22 ἴασις πάντων κατὰ σπουδὴν ὁμίχλη,
δρόσος ἀπαντῶσα ἀπὸ καύσωνος ἱλαρώσει.
23 Λογισμῷ αὐτοῦ ἐκόπασεν ἄβυσσον
καὶ ἐφύτευσεν ἐν αὐτῇ νήσους.
24 οἱ πλέοντες τὴν θάλασσαν διηγοῦνται τὸν κίνδυνον αὐτῆς,
καὶ ἀκοαῖς ὠτίων ἡμῶν θαυμάζομεν·
25 καὶ ἐκεῖ τὰ παράδοξα καὶ θαυμάσια ἔργα,
ποικιλία παντὸς ζῴου, κτίσις κητῶν.
26 δι᾽ αὐτὸν εὐοδοῖ ἄγγελος αὐτοῦ,
καὶ ἐν λόγῳ αὐτοῦ σύγκειται τὰ πάντα.
27 Πολλὰ ἐροῦμεν καὶ οὐ μὴ ἀφικώμεθα,
καὶ συντέλεια λόγων Τὸ πᾶν ἐστιν αὐτός.
28 δοξάζοντες ποῦ ἰσχύσομεν;
αὐτὸς γὰρ ὁ μέγας παρὰ πάντα τὰ ἔργα αὐτοῦ.
29 φοβερὸς κύριος καὶ σφόδρα μέγας,
καὶ θαυμαστὴ ἡ δυναστεία αὐτοῦ.
30 δοξάζοντες κύριον ὑψώσατε
καθ᾽ ὅσον ἂν δύνησθε, ὑπερέξει γὰρ καὶ ἔτι·
καὶ ὑψοῦντες αὐτὸν πληθύνατε ἐν ἰσχύι,
μὴ κοπιᾶτε, οὐ γὰρ μὴ ἀφίκησθε.
31 τίς ἑόρακεν αὐτὸν καὶ ἐκδιηγήσεται;
καὶ τίς μεγαλυνεῖ αὐτὸν καθώς ἐστιν;
32 πολλὰ ἀπόκρυφά ἐστιν μείζονα τούτων,
ὀλίγα γὰρ ἑωράκαμεν τῶν ἔργων αὐτοῦ·
33 πάντα γὰρ ἐποίησεν ὁ κύριος
καὶ τοῖς εὐσεβέσιν ἔδωκεν σοφίαν

44 1 Αἰνέσωμεν δὴ ἄνδρας ἐνδόξους
καὶ τοὺς πατέρας ἡμῶν τῇ γενέσει·
2 πολλὴν δόξαν ἔκτισεν ὁ κύριος,
τὴν μεγαλωσύνην αὐτοῦ ἀπ᾽ αἰῶνος.
3 κυριεύοντες ἐν ταῖς βασιλείαις αὐτῶν

20[4] εκδυσεται S† || 21[2] αποσβεσαι S*† || 22[1] παντων] παγων Sc† || 23[2] εν αυτη νησους pau.] αυτη νησους V†: εν excidit post -σεν; αυτην ιησους BSAC, αυτην κυριος compl.; εν αυτη ο κυριος νησους pau. || 24[1]/24[2]] tr. A | 24[1] διηγησονται S | τον > A || 25[1] παραδ. .. θαυμ.] tr. A | 25[2] κτησις SA | κητων] κτηνων SA || 26[1] ευοδοι αγγελος(uel ο αγγ.) pau.] ευοδια(B ευωδ.: cf. 20 9; A† ευδοκια) τελος(Sc† -λους) BSA | 26[2] τα > B || 28[1] ισχυσωμεν B, ισχυομεν S† || 30[1] κυριον] pr. τον Sc† || 31[1] τις] + γαρ S || 33[2] δεδωκεν A
44 1] pr. titulum πατερων υμνος BSA: cf. 18 30 || 2[2] τη μεγαλωσυνη Sc || 3[1] αυτου A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/458 UNIVERSITÄT LEIPZIG